Γορδίου, Βίος Ἰωαννουλίου

Αἰτωλία

Ν. Ἑλληνομν. Δ' σ. 33

Κατὰ Γόρδιον ἡ Αἰτωλία, ἡ πατρὶς τοῦ Εὐγενίου Ἰωαννουλίου, "ἡ ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος κατὰ γεωγράφον οὕτως ὀνομασθεῖσα, πόλεων εὐδαιμονίᾳ καὶ πλήθει ἀνδρῶν ἀριθμοῦ κρείττονι κατὰ τοὺς πάλαι χρόνους τῶν Ἑλλήνων κεκοσμημένη, τὸ δέ γε νῦν ἔχον τῶν ἄλλων πλὴν τῆς Ναυπάκτου, ἥτις καὶ προσεκδεξαμένη πασῶν καὶ ἕδρα τῆς ἐπαρχίας πάσης ἐν τοῖς μετέπειτα χρόνοις (καὶ νῦν εἰσέτι) διατετέλεκεν, οὐδὲ μιᾶς ἀπολειπομένης." Πᾶσαι κατεστράφησαν ὑπὸ τοῦ χρόνου καὶ τῶν συνεχῶν πολέμων. «Κῶμαι δέ τινες μόναι εἰσὶν ἀπολελειμμέναι, λίαν συνεσταλμέναι, δύο μὲν αὗται κατὰ μεσόγαιαν Ζαπάντη καὶ Βραχώρη..... δύο δὲ κατὰ θάλατταν, ἡ μὲν Ἀνατολικὸν καλουμένη....... ἡ δὲ Μεσολόγγιον. μέσον δὲ τῶν τελμάτων τούτων κειμένον καὶ φρούριόν τι... Ἀγγελόκαστρον καλούμενον.... Τὰ δὲ λοιπὰ ταύτης μέρη ἄγροικοί τινες εἰσὶν ἀπὸ τοῦ Ἀχελώου.... διὰ τοῦ Εὐήνου μέχρι καὶ τῶν τῆς Ναυπάκτου ὁρίων διήκοντες· οὗτοι δ' αὖ εἰς μικράς τινας ἄλλας διαιρούμενοι μοίρας καὶ τὴν τῶν πάλαι Κουρήτων καλουμένην περιέχουσι χώραν, οὓς καὶ Ἀποκουρῆτας τὸ νῦν ἔχον ἰδιωτικῇ γλώττῃ καλοῦσι καὶ Ἀπόκουρον τὴν τῶν ἀγρῶν τούτων πᾶσαν περιοχήν.»

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ